τοιούτοις μιαινομένων εὐθύνομεν. αὐτούς τε ἀθλιότητος ἀπ-
αλλάττοντες. καὶ τὰς πόλεις αἴσχους. τοὺς μὲν οὖν παρὰ φύ-
σιν μιαινομένους ἄν, ἐπεί ποτέ τινες ταύτῃ μιαινόμενοι ἁ-
λίσκοιντο. ἀρρενομιξία δὴ ἢ θηριομιξία. ἤ τινι καὶ ἄλλῃ,
τοιαύτῃ, τῶν τῶν ἀνθρώπων τοῖς μοχθηροτάτοις ἐξευρημέ-
νων, ἔν τῃ τε καὶ ἀρρήτῳ μυσαρίᾳ, πυρὶ καθαίρειν. τόν τε
δρῶντα ὁμοῦ καὶ πάσχοντα, ζῶντε καίοντε. κἂν θηρίον
ὀχευκώς τις ἁλῷ, καὶ τοῦτο αὐτῷ συγκαίοντας ὡσαύτως. al. ἄλλως s. ἄλλομαι, salto.
μοιχούς γε μήν, αὐτοὺς μὲν ὡσαύτως καίειν. καὶ προαγωγοὺς
πρὸς αὐτοῖς. εἴτ᾽ ἄνδρες, εἴτε γυναῖκες, αἵτινες οὖν ὦσι.
γυναῖκας δὲ δή, τάς γε μοιχευθείσας, τῇ τῶν πορνῶν προε-
στηκυίᾳ περικείραντας παραδιδόναι. τὸν λοιπὸν πορνευ-
σούσας βίον. ἵνα ἀνθ᾽ ὧν ἑαυτὰς μονολεχεῖς οἷς καθωμο-
λόγηντο οὐκ ἐφύλαξαν, τοῖς ἄλλοις, ὅσον τὸ ἐπ᾽ αὐτῆς. μονο- γρ. αὐτοῖς
λεχεῖς τὰς καθωμολογημένας σώζωσι, τῇ τῶν πρὸς ταύτην
ἂν μαλακῶς ἐχόντων τὴν ἐπιθυμίαν, οὐκ ἐναγεῖ τινι θερα-
πείᾳ. καίειν δ᾽ ὡσαύτως, κἄν τις γυναῖκα ἥντινοῦν βιάσηται,
πλὴν πόρνης. κἂν ἑταιρεῦσα, μηδέπω πεπορνευκυῖα ἐ-
λεγχθῇ. καὶ πόρνην δὲ βιασάμενόν ποτε, καίειν, ἤν γε αἱμορ-
ροῖ τῆς γυναικείου εἰωθυίας οὐ καθαρεύουσαν βιάσηται. τούτους
μὲν οὖν πάντας ἅτε καὶ ἐναγεστάτους, ἐν ἰδίοις τισὶν ἀπάγον-
τας πολυανδρείοις καίειν. οὐ τοῖς κοινοῖς. διττὰ γὰρ οὖν καὶ
εἶναι ἑκασταχοῦ τὰ πολυάνδρια. ὅροις ἀδήλοις δή τισιν ἀλλή-
λων διακρινόμενα. ἓν μὲν ἱερεῦσιν. ἕτερον δὲ τῷ ἄλλῳ δή-
μῳ. ἄλλο δὲ τοῖς ἐναγέσι τούτοις. οὗ καὶ σοφιστῶν, ἤν τις παρὰ
τὰς ἡμετέρας ταύτας δόξας σοφιζόμενος ἁλῷ, ζῶν καὶ οὗτος
κεκαύσεται. καὶ ἢν θυγατρί τις ἢ μητρὶ ἁλῷ μιχθείς. ἤ τι-
νι τῶν ἄνω τε καὶ κάτω τούτων. ἢν δὲ τῶν τινι ἄλλων οἰ-
κείων. ἀπορρήτων μὲν οὖν καὶ αὐτῶν προσμιχθείς τις ἁλῷ, ἀ-
τιμίᾳ τε ζημιοῦσθαι, ἕωσπερ ἂν ἱκανῶς καθῇ, καὶ πρὸς τῇ ἀτι-
μίᾳ, καὶ ἱερῶν συμπάντων εἴργεσθαι. ἐν τούτῳ τῶν ἐναγῶν
τῷ πολυανδρείῳ, καὶ ἀνδροφόνων καίειν, ὅσοι ποτ᾽ ἂν τῶν τινα
ἐναγεστέρων φόνων, ὑπὸ τῶν ἀρχόντων τετολμηκέναι κριθῶσι.
ἢν δὲ παρθένῳ τις ἢ καὶ τινι κεκινημένῃ, ἀνδρὶ μὲν οὐ καθω-